**SS 2024 Griech. Lektüre-Übung: Menander, *Dyskolos* TEXT 1 (Karanasiou)**

https://www.greek-language.gr/digitalResources/ancient_greek/library/browse.html?text_id=137&page=1

V. 1-16

**(ΠΑΝ)**

Τῆς Ἀττικῆς νομίζετ᾽ εἶναι τὸν τόπον,

Φυλήν, τὸ νυμφαῖον δ᾽ ὅθεν προέρχομαι

Φυλασίων καὶ τῶν δυναμένων τὰς πέτρας

ἐνθάδε γεωργεῖν, ἱερὸν ἐπιφανὲς πάνυ.

τὸν ἀγρὸν δὲ τὸν ἐπὶ δεξί᾽ οἰκεῖ τουτονὶ

Κνήμων, ἀπάνθρωπός τις ἄνθρωπος σφόδρα

καὶ δύσκολος πρὸς ἅπαντας, οὐ χαίρων τ᾽ ὄχλῳ—

«ὄχλῳ» λέγω; ζῶν οὗτος ἐπιεικῶς χρόνον

πολὺν λελάληκεν ἡδέως ἐν τῷ βίῳ

οὐδεν‹ί›, προσηγόρευκε πρότερος δ᾽ οὐδένα,

πλὴν ἐξ ἀνάγκης γειτνιῶν παριών τ᾽ ἐμὲ

τὸν Πᾶνα· καὶ τοῦτ᾽ εὐθὺς αὐτῷ μεταμέλει,

εὖ οἶδ᾽. ὅμως οὖν, τῷ τρόπῳ τοιοῦτος ὤν,

χήραν γυναῖκ᾽ ἔγημε, τετελευτηκότος

αὐτῇ νεωστὶ τοῦ λαβόντος τὸ πρότερον

ὑοῦ τε καταλελειμμένου μικροῦ τότε.